# Ἀκολουθία Ὁσίου ΙΩΑΝΝΟΥ τῆς Ῥίλας

### Ψαλλομένη τῇ 19η Ὀκτωβρίου

### Ποίημα Ἀλεξάνδρου Μωραϊτίδου

## ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καὶ τό *Μακάριος ἀνήρ.* Είς δὲ τό *Κύριε ἐκέκραξα* ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος πλ δ΄. Τί ὑμᾶς καλέσωμεν.

Τί σὲ Ἰώαννη καλέσωμεν; ἄλλον Παῦλον τὸν Θηβαῖον, ἢ μέγαν Ἀντώνιον; ἄστρον νέον τῆς Λιβύης, ἢ Νητρίας παιδευτήν; Ἀγγέλων, καὶ γὰρ ἄρτον καὶ σὺ ἔφαγες, τῆς Ῥίλας, δὲ τὴν ἔρημον ἐπόλισας· πολλαί σου αἱ ὁμοιότητες, καὶ θαυμαστοὶ οἱ ἀγῶνές σου· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. (Δίς).

Ὢ τοῦ ὕψους τῆς πολιτείας σου! Δι' ἧς ἤρθης πρὸς τὰ ἄνω καὶ ὡμίλησας Θεῷ, καὶ ἐδέξω τὰς ἐλλάμψεις, τῆς Τριάδος τηλαυγῶς· ἀγάπης, τὸν κρατῆρα γὰρ ἐξέπιες, καὶ ὤφθης Ἰωάννη θεοδίδακτος· κανὼν καὶ τύπος γενόμενος, τῆς ἀκροτάτης ἀσκήσεως, ὑπέρτερος πράξει τε καὶ θεωρήμασι. (Δίς).

Τί ἀνταποδώσωμεν Ὅσιε, τῇ πολλῇ σου εὐμενείᾳ, ἥνπερ ἔδειξας τρανῶς, τὴν τιμίαν δεξιάν σου, δωρησάμενος ἡμῖν, πλουσίαν εὐωδίαν ἀποπνέουσαν, ἰάσεις, παμποικίλους ἀναβρύουσαν, τοῖς μετὰ πίστεως Ἅγιε, καὶ εὐλαβείας γεραίρουσι, τὴν ἔνδοξον ἑορτήν σου καὶ χαρμόσυνον.

Δεῦτε μοναστῶν τὰ συστήματα, ἐν ᾀσμάτων μελῳδίαις ὡς ἐν στέμμασι σεπτοῖς, καταστέψωμεν ἐνθέως, εὐφρανθέντες τὰς ψυχάς, Μοισίας, τὸ πανένδοξον βλαστούργημα, ποιμένα, μοναζόντων καὶ διδάσκαλον, καὶ ἰατρὸν συμπαθέστατον, τῶν ἀσθενούντων ἑκάστοτε, διώκτην τε, τῶν δαιμόνων ἀπροσμάχητον.

Δόξα. Ἦχος πλ. δ´.

Ἐκ βρέφους τῷ Θεῷ, ἀφιερωθεὶς παναοίδιμε, φόβῳ καὶ ἀγάπῃ Αὐτῷ ὑπηρέτησας, ἡμέρας τε καὶ νυκτὸς ἐμμελετῶν τῷ νόμῳ Αὐτοῦ, εἰς ἀγαθῶν ἔργων περιποίησιν· ὀχυρωθεὶς δὲ τῇ ἄκρᾳ ταπεινώσει, καὶ τῇ ἀδιακρίτῳ ὑπακοῇ, μετὰ τὴν εἰς τοὺς πένητας διανομὴν τῶν σῶν ὑπαρχόντων, φέρων ἤδη τὸ Ἅγιον Σχῆμα· θεϊκῆς ὀπτασίας ἠξίωσαι, ἥπερ καὶ καθωδήγησέ σε εἰς τὴν πανέρημον τῆς Ῥίλας· ὅθεν, τοῦ μέλιτος τοῦ ἀσκητικοῦ γευσάμενος, ἀνέπτης τῆς ἀπαθείας πρὸς Θεόν, παρ' Οὗ τῆς ἄνω σοφίαν μυηθείς, θεοδίδακτος ὄντως ἀνεφάνης, κανὼν καὶ τύπος γενόμενος τοῖς σοῖς μαθηταῖς, πρὸς τὴν αὐτῶν σωτηρίαν, Βασιλεῖς τε καὶ ἄρχοντας ἐκδιδάσκων, καὶ τοὺς πάντας παραμυθῶν τοῖς θεοφθόγγοις σου ῥήμασι. Διό, χορεύει ἐπὶ τῇ μνήμῃ σου, Μοισία καί Ἑλλάς τε, ὁμοῦ τῇ νήσῳ Τήνῳ, καὶ συγκαλοῦσα ἡμᾶς εἰς πνευματικὴν εὐωχίαν, τὰ ἀγωνίσματά σου ἀνακηρύττουσι, πείθουσαι τοὺς πάντας βοᾶν· Ἰωάννη θαυματουργὲ μακάριε, τῶν ἀναχωρητῶν τὸ ἀγλάϊσμα, καὶ τὸ ἀριπρεπὲς τῶν κοινοβίων ἐμμελέτημα, πρέσβευε διηνεκῶς ὑπὲρ τῶν μετὰ πόθου τελούντων, τὴν παγγέραστον ἑορτήν, τῆς ἱερᾶς σου μεταστάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, Ὃν ἱκέτευε Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.**

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ′ 7).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε' 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον

αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τήν Λιτήν. Ἦχος α΄.

Δεῦτε τὰ στίφη τῶν μοναστῶν συνελθόντα, ἐν χορδαῖς καὶ ὀργάνοις τιμήσωμεν, τὴν πανέορτον μνήμην τοῦ ἐξάρχου ἡμῶν, και προστάτου καὶ φύλακος. Οὗτος γάρ, ἀπὸ βρέφους ἀφιερωθεὶς τῷ Θεῷ, πάντα τὰ τοῦ κόσμου τερπνά, καὶ ἅπερ κέρδη νομίζεται, ζημίαν καὶ σκύβαλα ἡγήσατο, ἵνα Χριστὸν κερδήσῃ. Προκαθαρθεὶς δὲ τοῖς θεμελίοις τῶν ἀρετῶν, τῇ ὑπακοῇ καὶ τῇ ταπεινώσει, ἀνῆλθεν ἐπὶ τὰ ὕψη τῆς Ῥίλας τὰ πανέρημα, ἔνθα ἠγωνίσατο κατὰ τοῦ παμπονήρου διαβόλου, ἀγῶνα δυσυπέρβλητον, χεῖρα πρὸς χεῖρα προσπαλαίσας αὐτῷ. Διὸ καὶ ὁ Χριστός, ὁ μόνος τῶν καλῶν ἀγώνων βραβευτής, διὰ πολλῶν χαρίτων αὐτον ἐχαρίτωσεν, ἰατρὸν τοῖς πάσχουσιν ἀναδείξας, καὶ τῶν δαιμόνων διώκτην· χειραγωγὸν δὲ αὖθις τῶν τῇ γνώσει τυφλῶν, καὶ βακτηρίαν τῶν ἐν τῇ πίστει ὀλιγοψύχων, οὕσπερ καὶ διέσωσεν, ἐκ τῆς τοῦ κόσμου καταιγίδος, εἰς τὴν οὐράνιον γαλήνην καὶ ἀνάπαυσιν, ἔνθα νῦν μετὰ πάντων τῶν Ὁσίων ἀγάλλεται, Χριστῷ πρεσβεύων ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β´.

Ἀπέθου τὰ πρόσκαιρα, καὶ διημείψω τὰ αἰώνια· διὰ προσκαίρου κόπου, τῶν ἀτελευτήτων ἀγαθῶν προσεκτήσω τὴν ἀπόλαυσιν· καὶ σὺν Ἀγγέλοις χορεύεις νῦν, τὴν τῶν Ἀγγελων πολιτείαν πολιτευσάμενος, ὅτι ἄσκευος ἐν τῇ ἐρήμῳ διαιτώμενος, Ἀγγέλων ἄρτον ἤσθιες· οὕτω γὰρ οἶδε Θεὸς ἀμείβειν, τοὺς δι' Αὐτὸν ἐν ἄκρᾳ στενώσει ἀγωνιζομένους, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις καὶ ξηροκοιτίαις, ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι· ἀνθ' ὧν τὴν τρυφὴν ἤδη ἀπέλαβες τὴν αἰωνίζουσαν, Ἰωάννη θαυματουργὲ μακάριε.

Ἦχος δ´.

Νοῦν ἡγεμόνα κατὰ παθῶν ἐνστησάμενος, τῷ κρείττονι τὸ χεῖρον καθυπέταξας· διὸ καὶ μετανάστης τῆς πατρίδος γενόμενος, τὴν ἔρημον ᾤκησας· ἔνθα περιπεφραγμένος τῇ συνέσει τῇ κρείττονι, τὰς ποικίλας τοῦ ἐχθροῦ μεθοδείας διέλυες· ὅθεν προσαναβαίνων ἐν ἀναβάσεσιν, ἔφθασας εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἐν ᾗ τῷ τρισηλίῳ φωτὶ περιαυγαζόμενος, πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ ἡμῶν ἀειμακάριστε.

Δόξα. Ἦχος πλ. α´.

Ἰσάγγελον, ἐπὶ γῆς πολιτείαν διήνυσας, ἰσάγγελον καὶ τιμήν, ὁ Χριστός σοι δεδώρηται· Ἀγγέλων ἄρτον ἐγεύσω ἐν τῇ ἐρήμῳ, Ἀγγέλων καὶ ταῖς τάξεσιν, ἐν οὐρανοῖς συνηρίθμησαι· τῶν ἀρχαίων Ὁσίων τὸν βίον ἀνενδότως ἐμιμήσω, τὴν ὁμοίαν πάλην κατὰ τοῦ βροτοκτόνου συγκεκροτηκώς, σὺν αὐτοῖς καὶ συνευφραίνῃ ἐν τῇ ἐπουρανίῳ διαγωγῇ· ἀγελάρχης ἀνεδείχθης μοναστῶν ἐν τῷ κόσμῳ, ταξίαρχος καὶ τῶν ψυχῶν αὐτῶν, τῶν διὰ σοῦ σεσωσμένων, παρὰ τοῦ ἀθανάτου Βασιλέως κεχειροτόνησαι. Μεγάλοι οἱ ἀγῶνές σου, μεγάλα καὶ τὰ ἔπαθλα, καὶ ἡ δόξα σου ἄφθιτος εἰς αἰῶνας αἰώνων, Ἰωάννη θαυματουργὲ τρισμακάριε.

Καὶ νῦν. Θεοτοκίον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ Ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς Αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, τῶν ἀσκητῶν ἀληθῶς, ὁ ὑφηγήτωρ τῆς ἐρήμου ὁ ἔξαρχος, ὁ πήξας τὴν καλιάν σου, ἐν ἀπροσίτοις ὀπαῖς, ἐν αἰγείῳ δέρματι καλυπτόμενος, ἀστὴρ παμφαέστατος, καταυγάσας ταῖς λάμψεσι, τῶν σῶν ἀγώνων, τὴν τῆς Ῥίλας πανέρημον, ὁ τοῖς θαύμασιν, ἐξαπλώσας τὴν χαριν σου, ἥν σοι Χριστὸς δεδώρηται, πλουσίως τὰ ἔπαθλα, ὁ διανέμων τοῖς φίλοις, τοῖς τον Θεὸν ἀγαπήσασι, ψυχῆς διαθέσει, καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ καὶ διανοίᾳ τε.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Φάρος, προσαναφθεὶς τῷ πυρί, τοῦ Παρακλήτου κατεφώτισας Ὅσιε, ψυχὰς τῶν σοὶ προσιόντων, οὕς εἰς μονὴν ἱεράν, ὥσπερ ἄλλος Σάββας συναγήοχας, ἐν ᾗ και παρέδωκας, ἐν χερσὶ τοῦ Παντάνακτος, τὴν ἱεράν σου, ψυχὴν ἔνθους γενόμενος, καὶ μετάρσιος, τὰ σὰ τέκνα ηὐλόγησας. Πάτερ ὦ συμπαθέστατε, καὶ πάντας δὲ νῦν ἡμᾶς, τοὺς ἐκτελοῦντας τὴν μνήμην, τῆς ἱερᾶς σου κοιμήσεως, εὐλόγησον μάκαρ, τῶν πταισμάτων αἰτουμένους, ἡμῶν τὴν ἄφεσιν.

Στ. *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

Χεῖρα, τὴν δεξιάν σου ἡμεῖς, καταπλουτοῦντες Ἰωάννη μακάριε, ἰάσεις παρεχομένην, τοῖς μετὰ πόθου αὐτήν, κατασπαζομένοις καὶ γεραίρουσιν, ἐν ὕμνοις καὶ ᾄσμασι, τὰ σεπτά σου παλαίσματα, εὐχαριστοῦμεν, τῷ Σωτῆρι κραυγάζοντες· πολυεύσπλαγχνε, δὸς ἡμῖν τὰ αἰτήματα, παῦσον τὸν δεινὸν τάραχον, τὸν ἐκ τῶν παθῶν ἡμῶν, τῷ

φθόνῳ ἐγειρομένων τοῦ σκολιόφρονος δράκοντος, παρέχων εἰρήνην, ταῖς ψυχαῖς ἡμῶν πρεσβείαις, τοῦ σοῦ θεράποντος.

Δόξα. Ἦχος δ΄.

Τὴν δεξιάν, τὴν πάντιμόν σου κατέχοντες, δι᾽ αὐτῆς κομιζόμεθα, ἀναψυχὴν ἐν τοῖς πειρασμοῖς, καὶ σωτηρίαν ἐν ταῖς νόσοις. Δι᾽ αὐτῆς γάρ, Ἰωάννη θεσπέσιε, τὸν λύκον τὸν κατὰ σοῦ ὠρυόμενον, ἀπεδίωκες, ἄμαχον αὐτὸν καθιστάς, τῷ σημείῳ τοῦ Σταυροῦ· καὶ αὖθις, δι᾽ αὐτῆς τοὺς πάσχοντας ἐπευλογῶν, καὶ ἐπισημειούμενος, ἢ ἐπαλείφων ἐλαίῳ, ὑγιεῖς ἐξαπέλυες. Δι᾽ αὐτῆς καὶ νῦν ἡμᾶς τοὺς ἑορτάζοντάς σου τὴν ἁγίαν μετάστασιν εὐλόγησον, καὶ ἐνίσχυσον, ἐν γνώσει ὁδεύειν τὴν τεθλιμμένην ὁδόν, ὅπως διαπλεύσαντες τὸ τοῦ βίου μέγα πέλαγος, εἰς τὴν οὐράνιον ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων εὐφραινομένων ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν, κατοικία προητοίμασαι.

Καὶ νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· Σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν Σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, Σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν Σοὶ πιστῶς βοώντων· χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐκ βρέφους ἠγάπησας τὸν Πλάστην σου καὶ Θεόν, εἰς Ὃν καθιέρωσας σαυτὸν μακάριε, καὶ τήξας τὸ σῶμά σου, ἀκροτάτῃ ἀσκήσει, ἐν ὀπαῖς καὶ σπηλαίοις, ἐκάλλυνας τῆς ψυχῆς σου τὴν εὐγένειαν· ὅθεν, ἡ Τριὰς ἐν σοὶ ἡ Ἁγία, παμμάκαρ Ἰωάννη ἐνώκησε.

Δόξα. Ἕτερον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τὴν χεῖρα κεκτημένοι παμμάκαρ τὴν δεξιάν σου, πλοῦτον ἡμῶν ἀναφαίρετον, ἐν ψυχῆς εὐφροσύνῃ, κυκλοῦντες τὴν πάντιμον σορόν, καὶ πόθῳ ἀσπαζόμενοι αὐτήν, θεσπέσιε

Ἰωάννη Πατὴρ ἡμῶν, βοῶμέν σοι κραυγάζοντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ σὲ ἰαμάτων πηγὴν ἡμῖν ἀναδείξαντι.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην Σου. Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί· δόξα τῷ προελθόντι ἐκ Σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου Σου.

## Ἀπόλυσις.

# ΟΡΘΡΟΣ

Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἡ μνήμη σου, Ὅσιε, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἀνέτειλε πάμφωτος, περιαυγάζουσα, πιστῶν τὰ συστήματα, φαειναῖς φρυκτωρίαις, τῶν θαυμάτων σου Πάτερ, ἅπερ πλουσίως νέμεις, τοῖς προστρέχουσι πόθῳ, καὶ προσαιτουμένοις τὴν λύσιν, τῶν νόσων ψυχῆς καὶ σώματος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Πανάχραντε· λῦσον τὰς περιστάσεις, τῶν εἰς Σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας, καὶ τὰ θράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων, κατὰ τῶν δούλων Σου.

Μετὰ τὴν β’ Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Τῇ σορῷ τῆς ἁγίας χειρός σου Ὅσιε, προσπελάζοντες πόθῳ οἱ συνεχόμενοι, ἀδοκήτοις πειρασμοῖς παθῶν καὶ θλίψεων, καὶ ἀσπαζόμενοι αὐτήν, εὑρίσκομεν ἀπαλλαγήν, καὶ ἰατρείαν ἐν πᾶσι, εὐχαριστοῦντες τῷ δόντι, τὴν χάριν ταύτην σοὶ ἀοίδιμε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ταχεῖάν Σου σκέπην καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τὸν δοῦλόν Σου, καὶ τὰ κύματα Ἁγνὴ καταπράϋνον, τῶν ματαίων λογισμῶν, καὶ τὴν πεσοῦσάν μου ψυχήν, ἀνάστησον Θεοτόκε. Οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλεσαι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀπαθείᾳ τὸν νοῦν σου προκαθαρθείς, ἐν σχισμαῖς καὶ σπηλαίοις ἐρημικοῖς, ὡμίλησας Ὅσιε, τῷ Θεῷ Παντοκράτορι, παρ’ Οὗ τὰς ἐλλάμψεις τὰς θείας δεξάμενος, ὀπτασιῶν

ἐνθέων, πλουσίως ἠξίωσαι· ὅθεν καὶ θαυμάτων, ποταμὸς ἀνεδείχθης, ἰάσεις δωρούμενος, τοῖς πιστῶς σοι προστρέχουσιν, Ἰωάννη θαυματουργέ, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρω Σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων Σου· Σὺ γὰρ ὤφθης σκέπη, ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων, ἀεί με ἐξαίρουσα. Ὅθεν ὡς, ἐκ μέσου, φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω Σοι· Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· Σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός Σου.

**Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.**

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

**Εὐαγγέλιον Ὁσιακόν (ζῆτει αὐτῷ ἐν ταῷ Ὄρθρῳ ταῆς ἑορτῆς τοῦ ἁγ. Σάββα, ταῇ 5η Δεκεμβρίου).**

**Ὁ Ν’ Ψαλμός.**

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθε ὁ φθόγγος τῶν κατορθωμάτων σου, δι’ ὧν ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν οὖν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ὁσίου.

Ὠδὴ α. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Τῷ τοῦ Δεσπότου θρόνῳ παριστάμενος, ἀνάπλεως τοῦ φωτός, τοῦ ἐπουρανίου, Ἰωάννη Ὅσιε, ἀκτῖνά μοι

κατάπεμψον, τοῦ φωτίσαι τὸν νοῦν μου, σκότους ἀνάπλεων, ὅπως ἂν ὕμνοις καταστέψω τοὺς ἄθλους σου.

Ὅλον ἐκ βρέφους τῷ Θεῷ ἀφωρίσας, σαυτὸν μακάριε, φόβῳ καὶ ἀγάπῃ, Τούτου τὰ ἐντάλματα, τηρῶν μὴ λογιζόμενος, τὴν κακίαν τοῦ φθόνου, ὑποκριτὴν ὀνομάζουσα, σὲ τῶν ἀρετῶν τὸ κειμήλιον.

Τὴν τοῦ Σωτῆρος ἐντολὴν μακάριε, τὴν χρίουσαν φαεινῶς, τοὺς τελείους ὅλῃ, τῇ ψυχῇ ἐπλήρωσας, καὶ νείμας τὴν οὐσίαν σου, ἐν χερσὶ τῶν πενήτων, χαίρων ἐδέξω τὸ ἅγιον, Σχῆμα Ἰωάννη θεόκλητε.

Θεοτοκίον.
Δέσποινα Κόρη τῶν Ἀγγέλων Ἄνασσα, ἡ τοῦ ἐλέους πηγή, τῆς ἀγαθωσύνης, πέλαγος ἀπέραντον, δυσώπησον τὸν Κύριον, καὶ Υἱόν Σου ἐν χώρᾳ, ζώντων συντάξαι τὰ πνεύματα, τῶν κειμένων ὧδε παρθένων Σου.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.
Ταπεινώσει τρισμάκαρ προκαθαρθεὶς ἄριστα, καὶ ὑπακοῇ διαπρέψας, θείων ἠξίωσαι, ὀπτασιῶν θαυμαστῶς· δι᾽ ὧν ἀνῆλθες εἰς ὄρος, μόνος ὡς εἰς ἄλλο Καρμήλιον.

Προσευχαῖς καὶ νηστείαις τὴν τῶν παθῶν ἔσβεσας, φλόγα ἐξανάψας ψυχῆς σου φλόγα τὴν καίουσαν, ἐν ἀστραπαῖς φαειναῖς, ἀπὸ τῆς θείας ἀγάπης, ὥσπερ ἄλλος ἥλιος, θάλπων τὴν ἔρημον.

Ἄσκευος καὶ ἀκτήμων ἔσχες τροφὴν ἄσκευον, τὰς ἀγρίας Πάτερ βοτάνας, καὶ ὡς ὁ Πρόδρομος, ἀσκεύῳ ἐν δέρματι, ἐνδεδυμένος διῆγες, ὡς ἐρημικὸν καλλιέρημα.

Θεοτοκίον.
Τῶν Ἀγγέλων Κυρία ὦ συμπαθὴς Δέσποινα, δέξαι ἱκεσίας Σῶν δούλων, ἅσπερ προσάγαγε, Υἱῷ Σου Μονογενεῖ, ὅπως ψυχὰς ἀναπαύσῃ, τῶν ἀπελθουσῶν ἀδελφῶν ἡμῶν.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς ἐρήμου τὸ ἄνθος τὸ θαυμαστόν, τῶν σχισμῶν καὶ σπηλαίων τὸν οἰκιστήν, τὸν μέγαν ὑμνήσωμεν, Ἰωάννην τὸν φύλακα, ἡμῶν καὶ κηδεμόνα, ἐν πάσας συμπτώσεσιν, ἐν στερήσει τροφέα, ἰατῆρα δὲ κράτιστον· οὗτος γὰρ ἐν ἄκρᾳ, διαπρέψας ἀσκήσει, ῥωσθεὶς τὴν διάνοιαν, τῶν θαυμάτων ἐδέξατο, ἐκ Θεοῦ τὴν ἐνέργειαν, δαίμονας ἐλαύνει γοργῶς, ἀνιάτων δὲ νόσων συμπτώματα, τῶν αὐτῷ προσιόντων, θεραπεύει ἑκάστοτε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην Πανάμωμε, ἁμαρτιῶν τε φόρτῳ φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα ᾅδου πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ Σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω Σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν, Σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός Σου.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Σοῖς ὀφθαλμοῖς, ὕπνον οὐκ ἔδωκας Ὅσιε, σοῖς κροτάφοις, νυσταγμὸν οὐδέποτε, διηνεκῶς, πλήττων τὸν σατάν, διὰ πολιτείας ἀμέμπτου καὶ δι’ ἀσκήσεως, ἐν ἄκρᾳ ταπεινώσει, ἐν ταῖς νίκαις κραυγάζων· τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

Σχῆμα ληστῶν, ποτὲ λαβόντες οἱ δαίμονες, ἐν τῷ ὄρει, πάλην συνεκρότησαν, καὶ τυψαντές σε ὀδυνηρῶς, ἐξεβίαζόν σε, τήν ἐρημίαν ἀρνήσασθαι· πλὴν σὺ ὢν τετρωμένος, τῷ πόθῳ τοῦ Δεσπότου, εἰς τῆς Ῥίλας ἔβης τὴν πανέρημον.

Τὴν ἀρετήν, οὐκ ἔδει ὄντως καλύπτεσθαι, ἐν ἐρήμῳ· ὅθεν ὁ πανάγαθος, Θεὸς τῶν δώρων ὁ χορηγός, πηγὴν ἰαμάτων καὶ θαυμασίων σε ἔδειξε, τοῖς δεομένοις πᾶσι, καὶ ἡ ἄγονος χώρα, παραδόξως τροφήν σοι ἐβλάστησε

Θεοτοκίον.

Οὐδείς ποτέ, ἐπὶ τῆς γῆς ἀναμάρτητος, οὐδεὶς μώμου, Εὔσπλαγχνε ἀμέτοχος, τῶν ἐν σαρκί, ζώντων ἐπὶ γῆς· διὸ ὡς

Δεσπότης, τάς κοιμηθείας παρθένους Σου, ἀπάλλαξον ἁπάσας, δικαίας καταδίκης, ταῖς πρεσβείαις τῆς Σῆς Θεομήτορος.

ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Βασιλεῖ ἐκζητοῦντι, νουθεσίας προφρόνως ἐπέστειλας, εἰ τὴν Βασιλείαν, τὴν ἀσάλευτον ποθεῖ προσκτήσασθαι, σὺν τῇ εὐσεβείᾳ, ἐλέει τε καὶ συμπαθείᾳ, βασιλικοῖς κοσμηθήτω χαρίσμασι.

Σὲ προστάτην τρισμάκαρ, πρὸς Θεὸν κεκτημένοι καὶ πρέσβυν ἄγρυπνον, ἐκ παντὸς κινδύνου, καὶ ποικίλων νόσων ἐκλυτρούμεθα· καὶ γὰρ ὁ Δεσπότης, μετ᾽ εὐμενείας ὑπακούει, τῶν πιστῶν Αὐτοῦ δούλων τὴν δέησιν.

Δαιμονῶντας ἰάσω, τῇ τῆς δεξιᾶς σου ἀφῇ καὶ ταῖς σαῖς εὐχαῖς· νῦν δ᾽ ἡμᾶς θεόφρον, κεκτημένους αὐτὴν ἐν σεπτῇ σορῷ, καὶ ἀσπαζομένους, θυμοῦ καὶ ταραχῆς παντοίας, ἐλευθέρωσον ταῖς ἱκεσίαις σου.

Θεοτοκίον.

Παρὰ Σοὶ Παντοκράτωρ, ὡς προέφης μοναὶ πολλαὶ πέλουσιν, ἔνθα τὸ ἄδυτον τῆς θεότητος φέγγος, καὶ τρυφῆς ὁ χειμάῤῥους ὁ ἄπαυστος· ἐν αὐταῖς οὖν Σῶτερ, ταῖς τῆς Μητρός Σου ἱκεσίαις, τὰς προκοιμηθείσας παρθένους σύνταξον.

ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἠγάπησας τὸν Θεόν, ἐν ὅλη τῇ διανοίᾳ σου, καὶ ἐκκολλήθης Αὐτῷ, ὅλῃ τῇ ἰσχύϊ σου· διόπερ ἀνάπαυσιν εὗρες Ἰωάννη, ἐν τῇ πόλει τοῦ Θεοῦ ἡμῶν.

Ἐν ἀκηδίαις στιγμαῖς, οὐδόλως ὠλιγοψύχησας, βιάζων δὲ σεαυτόν, ὥσπερ ὁδοιπόρος τις πορείαν στελλόμενος, ἀπωτάτην Πάτερ, τοῦ σκοποῦ σου οὐκ ἐξέφυγες.

Τοῦ βήματος τοῦ φρικτοῦ, ἐμνημονεύων ἀείποτε, συνέστελλες σεαυτόν, προς πᾶσαν ὑπόμνησιν, ἀνέσεως Ὅσιε· ὁ ἁγνὸς γὰρ φόβος, τοῦ Κυρίου ἐστὶν ἄπαυστος.

Θεοτοκίον.

Βασίλισσα οὐρανοῦ, καὶ γῆς ὑπάρχεις Πανάχραντε· διὸ πρὸς τὸν Σὸν Υἱόν, καὶ Κτίστην τοῦ σύμπαντος, ψυχὰς τῶν παρθένων Σου, τῶν κεκοιμημένων, σεσωσμένας συνεισάγαγε.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ταῖς τῶν δακρύων σου κρουνοῖς ἀεννάοις, ἐν τῇ ἐρήμῳ διαιτώμενος μάκαρ, τὴν ψυχικήν σου αὔλακα, κατήρδευσας λαμπρῶς· ὅθεν ἀνεβλάστησε, θείων ἔργων τὸν στάχυν, ἀκμαῖον κατευφράναντα, τὸν τῶν ὅλων Δεσπότην, Ὅς σὲ ἠμείψατο πλουσίως ὡς Θεός, πηγὴν θαυμάτων, ἡμῖν ἀναδείξας σε.

**Ὁ Οἶκος.**

Οἶδα καλῶς ὅτι πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον παρὰ τοῦ Πατρὸς τῶν φώτων· οὗπερ ἐγὼ ταῖς πολλαῖς ἁμαρτίαις κατέστησα ἐμαυτὸν ἀνάξιον. Ὅμως, ὦ θεοφόρε Ἰωάννη, ἐπιποθοῦντι τελείως ὑμνῆσαι τήν θαυμαστὴν βιοτήν σου, δός μοι φῶς καὶ ἰσχύν, ὡς τοῦ ἐλεήμονος Θεοῦ παντέλειος μιμητής. Καὶ γὰρ καθάρας σαυτὸν δι᾽ ἀκροτάτης ἀσκήσεως, προσεκτήσω ἀνόθευτον τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην, ὑπὲρ οὗ καὶ μετὰ θάνατον ἄπειρα ἐκχέεις τὰ ἐλέη σου, τοῖς μετὰ πίστεως προσερχομένοις, τῇ ἱερᾷ τῶν λειψάνων σου σορῷ. Εὐαρεστήσας γὰρ τελείως τῷ Θεῷ, ἔλαβες τελείαν τὴν ἀντάμειψιν. Αὐτὸς γὰρ ὁ μεγαλόδωρός ἐστιν, ὁ πηγὴν θαυμάτων ἡμῖν ἀναδείξας σε.

**Συναξάριον.**

**Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Ἰωάννου, τοῦ ἐν τῷ ὄρει Ῥίλα τῆς Βουλγαρίας ἀσκήσαντος καί μονήν οἰκοδομήσαντος.**

Στίχοι·

*Κτίτωρ Μονῆς σύ, ὦ Ἰωάννη Ῥίλας,*

*Δειχθεὶς κατοικεῖς νῦν Μονὰς τὰς ἐν πόλῳ.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ηὔξαι μακάριε περάναι, τὴν ζωὴν αὐτοῦ συγγενικόν σου παῖδα· προεγνὼς γὰρ αὐτόν, ἄσωτον ἀποβῆναι· διὸ καὶ ὀφιόδηκτος, ἐτερμάτισε τὸν βίον.

Δέξαι μου Ὅσιε τοὺς ὕμνους, οὓς προσάγω σοι ἀπὸ βαθέων στέρνων, καὶ πρόσθητι ἐμοῦ, τοῦ κόσμου ἐκδημοῦντος, διώκων τὰ τελώνια, μακρὰν ἀπὸ τῆς ψυχῆς μου.

Ἴνδαλμα γέγονας θεόφρων, ἀκροτάτης ἀσκήσεως τοῖς πᾶσι· διόπερ ἱκέτευω Σε, γενέσθαι μου προστάτην, δωροῦντά μοι ὑπομονήν, ἐν στερήσεσι καὶ πόνοις.

Θεοτοκίον.

Ὅταν Κυρία τῶν Ἀγγέλων, ἡ τῆς Κρίσεως περιηχήσῃ σάλπιγξ, ἐν τῇ σιγῇ ἐκείνῃ τοῦ ἡμιωρίου, ἱκέτευσον τὸν Σὸν Υἱόν, ὑπὲρ τῶν μοναζουσῶν Σου.

ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.

Διεφημίσθη Ὅσιε, ἐν τοῖς πέριξ ὁ βίος σου, καὶ ἡ θαυμαστή σου, παῤῥησία προσάγουσα, ἣν ἔσχες πρὸς Κύριον· διὸ συνέῤῥεον ἐν χαρᾷ, οἱ ἐπιποθοῦντες, τὴν αὐτῶν σωτηρίαν, μεθ’ ὧν νῦν ἀναμέλπεις, ἐν οὐρανοῖς κραυγάζων· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Εἰς δόξαν ἀνυπέρβλητον, ἡ μονή σου ἐξέλαμψε, τοῦ Χριστοῦ σὲ Πάτερ, ὥσπερ φάρον φαίνοντα, ἐν αὐτῇ προτάξαντος, τῷ θάμβει τῶν θαυματουργιῶν, τῶν διὰ σοῦ τελουμένων· καὶ γὰρ τῶν ἰωμένων, ἡ φωνὴ περιήχει· ὑμνοῦμεν εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Κάμπτων τὸ γόνυ Ὅσιε, τῆς σοροῦ σου κατέναντι, ἐν δακρύων ὄμβροις, ἐξομολογοῦμαί σοι, ἴδε τῆς ἀσθενείας τῆς ταλαιπώρου ἐμῆς, ψυχῆς τῆς ἐκ τῶν παθῶν, κινδυνευούσης εἰς τέλος, καὶ σῶσόν με ἀῤῥήτως, ὡς μοναχὴν ἐῤῥύσω, ἀπὸ φρικτοῦ θανάτου, ἐκ τῆς αἱμοῤῥαγίας.

Θεοτοκίον.

Παρθένε πανακήρατε, παρθενίας ἀπάνθισμα, τῶν παρθένων μόνη βεβαία ἀντίληψις, ἡ στήλη ἡ ἔμψυχος, σωφροσύνης ἱκέτευε, τὸν Ἅγιον Ἁγίων, καὶ Υἱόν Σου καὶ Πλάστην, χορῷ τῷ τῶν Ἁγίων, ψυχὰς τῶν τῆς Μονῆς Σου, παρθένων κατατάξαι, φωτὶ ἐν ἀνεσπέρῳ.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Τὸν κύκλον παροδεύσας τὸν τῆς ζωῆς, Ἰωάννη τῆς Ῥίλας μακάριε, ἀπὸ παιδός, ἀγωγαῖς ἀσκήσεως παιδευθείς, μέγας ἐδείχθης πρόβολος, πᾶσι τοῖς θεόπταις ἡσυχασταῖς· διὸ προγνοὺς τὴν ὥραν, τῆς σῆς ἀποδημίας, ἀπῆλθες εὐλογῶν σου τοὺς μαθητάς.

Ἀῤῥήτου εὐωδίας πνευματικῆς, ἐπληροῦτο ἡ ἔρημος Ἅγιε, ἐπὶ πολύ, μετὰ τὴν τοῦ σκήνους σου ἐκφοράν, σημεῖον ἁγιώτατον, τῆς ἡγιασμένης σου βιοτῆς, ἡ θεία καὶ γὰρ Χάρις, τῶν ἐν Χριστῷ ζησάντων, καὶ τοῖς λειψάνοις διεκκέχυται.

Ἡ μνήμη σου τρισμάκαρ ἡ ἱερά, τῆς Χριστοῦ Ἐκκλησίας ἀνέτειλε, πλήρης χαρᾶς, πλήρης εὐωδίας ἀσκητικῆς, σκιρτάτωσαν οἱ πάσχοντες, κροτείτωσαν χεῖρας οἱ μονασταί, οἱ μὲν γὰρ ἰατῆρα, σωμάτων εὗρον θεῖον, οἱ δὲ ψυχῶν τὸν παρακλήτορα.

Τὴν χεῖρά σου πλουτοῦντες τὴν δεξιάν, Ἰωάννη πανθαύμαστε Ὅσιε, ἐν τοῖς δεινοῖς, πᾶσι καταφεύγομεν πρὸς αὐτήν, καὶ πόθῳ ἀσπαζόμενοι, ἀπαντλοῦμεν θάῤῥος τε καὶ ἰσχύν, ἐν ἀσθενείαις ῥῶσιν, ἐν τοῖς κινδύνοις ῥύσιν, καὶ ἐν ἀνάγκαις ἀνακούφισιν.

Θεοτοκίον.

Κυρία τῶν Ἀγγέλων καταφυγή, τῶν ψυχῶν ἡμῶν μόνη θεόσδοτος, ἀντιλαβοῦ, ἔκτεινον τὴν χεῖρα τὴν κραταιάν, πρὸς τὸν Υἱόν Σου Ἄχραντε, ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν, παρθένων τῆς Μονῆς Σου, τῶν ὧδε τεθαμμένων, τῶν ζησασῶν ἐν ἁγιότητι.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Τοῦ κόσμου τὴν προσπάθειαν, ἐναποῤῥίψας Ὅσιε, στενήν τε καὶ τεθλιμμένην, τρίβον διήνυσας· ὅθεν, εἰς πλάτος ἀναπαύσεως, κατέστης εὐφραινόμενος, ἔνθα Ὁσίων τάγματα, σὺν ἅπασι τοῖς Δικαίοις, ἀγάλλονται αἰωνίως.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγεννημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησε, καὶ ὁ Υἱός ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν Σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

**Αἶνοι. Ἦχος δ΄. Ὁ ἐξ ὑψίστου κληθείς.**

Ὁ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἐπ’ ὤμων αἴρων, καὶ Τούτου τοῖς ἴχνεσι, σοφῶς ἑπόμενος, τοῖς φοιτηταῖς σου ἐκέκραγες, ἐπὶ τῆς Ῥίλας, μονὴν ἱδρύσας τὴν πολυθαύμαστον· ἐμοὶ τῷ Σταυρῷ Χριστοῦ, κόσμος ἐσταύρωται, σὺν ταῖς τρυφαῖς καὶ τερπνότησι, κἀγὼ τῷ κόσμῳ, ἐναποκόπτων πᾶσαν προσπάθειαν· ὅθεν ὁ θέλων τὴν ψυχὴν αὐτοῦ, περισῶσαι εἰς δόξαν οὐράνιον, ἐν τῷδε οὗτος τῷ κόσμῳ ἀπολέσει τὴν ψυχὴν αὐτοῦ. (Δίς).

Ὁ ἐκνικήσας λαμπρῶς καὶ θριαμβεύσας, ὥσπερ ὁ Ἀντώνιος, ἐχθροῦ τὰ ἔνεδρα, ἐν τῇ ἐρήμῳ διαβιῶν, συνῆψας πάλην, κατὰ πνευμάτων τοῦ σκότους Ὅσιε, ἅπερ σὲ κατέῤῥιπτον κατὰ τῆς πέτρας σφοδρῶς, τοῦ ἀπολέσαι τὸ σῶμά σου, πλὴν σὺ ἐπαίρων, τὸν τοῦ Κυρίου Σταυρὸν ἀνέβαινες, ἐπὶ τῆς ἄκρας· διὸ Ἄγγελος, τῶν δαιμόνων τὰ στίφη διέλυσε, καὶ οὐράνιον ἄρτον, καθ’ ἑκάστην σοὶ ἐκόμιζε.

Τὴν δεξιάν σου ἡμῖν ὁ θησαυρίσας, ἰάσεων βρύουσαν πηγὰς ἑκάστοτε, τοῖς μετὰ πόθου καὶ πίστεως, ἀσπαζομένοις, σορὸν τὴν πάντιμον ἐν ἁγνότητι, ἐρήμου ἀγλάϊσμα, ταύτην νῦν ἔπαρον, καὶ ἡμᾶς πάντας εὐλόγησον, καὶ εὐωδίας, νοῦν καὶ καρδίαν Ἅγιε πλήρωσον· ὅπως ἂν χάριτι γενόμενοι, εὐωδίᾳ Χριστοῦ ἀπολαύσωμεν, τὰ εὐώδη ἐκεῖνα καὶ μακάρια σκηνώματα.

Δόξα. Ἦχος πλ. δ΄.

Ἁγιωσύνης γυμνάσιον, ὁ βίος σου ὅλος Ἰωάννη Πατὴρ ἡμῶν ἀναδέδεικται. Κατὰ παθῶν γὰρ στήσας τὸν πόλεμον, ἀνδρειοφρόνως ἀντετάξω, τῷ φθονερῷ πολεμήτορι, ἐν νηστείαις καὶ ἀγρυπνίαις, καὶ τῇ ἄλλῃ ἀσκήσει, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ δουλαγωγῶν τῆς σαρκὸς τὸ δυσδάμαστον φρόνημα. Ἐρηρεισμένος δὲ τῇ πέτρᾳ τῆς πίστεως, καὶ τῷ ὅπλῳ τοῦ Σταυροῦ περιπεφραγμένος, ἀντέστης πάσαις ταῖς προσβολαῖς τοῦ δράκοντος, προσδεχόμενος τὸν Θεόν, τὸν σώζοντα ημᾶς, ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος. Καὶ οὐκ ἐψεύσω τῶν ἐλπίδων σου, φυλάττει γὰρ Κύριος τὰς ψυχὰς τῶν Ὁσίων Αὐτοῦ. Αὐτὸς δὲ ὁ Πανάγαθος ἐν τῷ τέλει τοῦ ἀγῶνος, ἔφη σοι λαμπρᾷ τῇ φωνῇ · εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Αὐτῆς τῆς χαρᾶς καὶ ἡμεῖς οἱ πλουτήσαντές σε πρέσβυν πρὸς Χριστὸν τὸν Θεόν, ἀξιωθείημεν ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, Σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

**Μεγαλυνάρια.**

Τὸν τῆς μετανοίας καθηγητήν, καὶ τὸν τῆς ἐρήμου, πολιοῦχον καὶ οἰκιστήν, τὸν πύρινον στύλον, τὸν λύχνον τοῦ ἡλίου, τὸν μέγαν Ἰώαννην, πάντες τιμήσωμεν.

Ἰωὴλ Προφῆτα θαυματουργέ, καὶ Οὔαρε Μάρτυς, Λεόντιε καὶ Σαδώθ, Εὐσέβιε Φῆλιξ, καὶ Ῥίλας Ἰωάννη, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.